Excerpt of Original Work: Apollonius' "Argonautika," 3.1278—1313

(Text: Hunter, R.L. (ed.) *Argonautika, Book III*. Cambridge University Press, Cambridge, 1989.)

Αἰσονίδης δ', ὅτε δὴ πρυμνήσια δῆσαν ἑταῖροι,
δή ῥα τότε ξὺν δουρὶ καὶ ἀσπίδι βαῖν' ἐς ἄεθλον,
νηὸς ἀποπροθορών· ἄμυδις δ' ἕλε παμφανόωσαν
χαλκείην πήληκα θοῶν ἔμπλειον ὀδόντων
καὶ ξίφος ἀμφ' ὤμοις, γυμνὸς δέμας, ἄλλα μὲν Ἄρει
εἴκελος, ἄλλα δέ που χρυσαόρωι Ἀπόλλωνι.
παπτήνας δ' ἀνὰ νειὸν ἴδε ζυγὰ χάλκεα ταύρων
αὐτόγυόν τ' ἐπὶ τοῖς στιβαροῦ ἀδάμαντος ἄροτρον.
χρίμψε δ' ἔπειτα κιών, παρὰ δ' ὄβριμον ἔγχος ἔπηξεν
ὀρθὸν ἐπ' οὐριάχωι, κυνέην δ' ἀποκάτθετ' ἐρείσας.
βῆ δ' αὐτῆι προτέρωσε σὺν ἀσπίδι νήριτα ταύρων
ἴχνια μαστεύων. οἱ δ' ἔκποθεν ἀφράστοιο
κευθμῶνος χθονίου, ἵνα τέ σφισιν ἔσκε βόαυλα
καρτερὰ λιγνυόεντι πέριξ εἰλυμένα καπνῶι,
ἄμφω ὁμοῦ προγένοντο πυρὸς σέλας ἀμπνείοντες.
ἔδδεισαν δ' ἥρωες ὅπως ἴδον· αὐτὰρ ὁ τούσ γε,
εὖ διαβάς, ἐπιόντας, ἅ τε σπιλὰς εἰν ἁλὶ πέτρη
μίμνει ἀπειρεσίηισι δονεύμενα κύματ' ἀέλλαις.
πρόσθε δέ οἱ σάκος ἔσχεν ἐναντίον. οἱ δέ μιν ἄμφω
μυκηθμῶι κρατεροῖσιν ἐνέπληξαν κεράεσσιν,
οὐδ' ἄρα μιν τυτθόν περ ἀνώχλισαν ἀντιόωντες.
ὡς δ' ὅτ' ἐνὶ τρητοῖσιν ἐύρρινοι χοάνοισι
φῦσαι χαλκήων ὁτὲ μέν τ' ἀναμαρμαίρουσι
πῦρ ὀλοόν πιμπρᾶσαι, ὅτ' αὖ λήγουσιν ἀυτμῆς,
δεινὸς δ' ἐξ αὐτοῦ πέλεται βρόμος, ὁππότ' ἀίξηι
νειόθεν· ὣς ἄρα τώ γε θοὴν φλόγα φυσιόωντες
ἐκ στομάτων ὁμάδευν, τὸν δ' ἄμφεπε δήιον αἶθος
βάλλον ἅ τε στεροπή· κούρης δέ ἑ φάρμακ' ἔρυτο.
καί ῥ' ὅ γε δεξιτεροῖο βοὸς κέρας ἄκρον ἐρύσσας
εἷλκεν ἐπικρατέως παντὶ σθένει, ὄφρα πελάσσεν
ζεύγληι χαλκείηι· τὸν δ' ἐν χθονὶ κάββαλεν ὀκλάξ,
ῥίμφα ποδὶ κρούσας πόδα χάλκεον· ὣς δὲ καὶ ἄλλον
σφῆλε γνὺξ ἐπιόντα, μιῆι βεβολημένον ὁρμῆι.
εὐρὺ δ' ἀποπροβαλὼν χαμάδις σάκος, ἔνθα καὶ ἔνθα
τῆι καὶ τῆι βεβαὼς, ἄμφω ἔχε πεπτηῶτας
γούνασιν ἐν προτέροισι, διὰ φλογὸς εἶθαρ ἐλυσθείς·